παραί. ϗ ἡ ὑπὲρ, ὑπείρ.

§. υξγ΄. Τὴν παρὰ, συγκόπτουσι Δωριεῖς Συμφώνου ἐπιφερομένου. οἷον, παρ ζηνί. ϗ τὴν Ἀνά. ἄντεινον, ἀντὶ τοῦ ἀνάτεινον.

§. υξδ΄. Αἰολεῖς δὲ, καττάδε λέγουσιν, ἀντὶ τοῦ, κατὰ τάδε. ϗ καδδὲ, ἀντὶ τοῦ, κατὰ δέ. ϗ ὐββάλλειν, ἀντὶ τοῦ ὑποβάλλειν. ϗ ποτὶὰν μητέρα, ἀντὶ πρὸς τὴν μητέρα.

## ΚΕΦ. ϛ΄.

## Περὶ Ἐπιῤῥήματος.

§. υξέ. Τὸ νῦν, Ἀττικοὶ ϗ νυνὶ λέγουσι. ϗ τὸ σήμερον, τήμερον, ϗ τὸ πόῤῥω, πόρσω. Ἀττικῶν δὲ ϗ τὸ Ἀθήναζε, ϗ ἀθήνησι, ϗ ἀθήνηθεν, ϗ τὰ τοιαῦτα. ϗ ἔτι τὸ εἴκαδε, ϗ οἴκοι.

§. υξϛ΄. Ἴωνες δὲ τὸ ἔσω, εἴσω λέγουσι. ϗ τὸ ἕως, εἵως ϗ τὸ ἐκεῖσε, κεῖσε. ϗ τὸ ἐπὰν, ἐπεάν. ϗ τὸ ἐνταῦθα, ἐνταῦτα. ϗ τὸ αὖθις, αὖτις, ϗ τὸ πῶς, κῶς. ϗ τὸ ὁπότε, ὁκότε· Ἔτι τῶν τῆς Μεσότητος, διαιροῦσι τὸ ως εἰς εως, τῶν ἀπὸ τῆς Πρώτης τῶν Συνῃρημένων δηλονότι. οἷον, ἀληθῶς, ἀληθέως, ἀτρεκῶς, ἀτρεκέως.

§. υξζ΄. Δωριεῖς δὲ τὰ τῆς Μεσότητος βαρύτονα, περισπῶσιν. οἷον, παντῶς, αὐτοματῶς, οὑτῶς. τὰ δὲ περισπώμενα, βαρυτονοῦσιν. οἷον, σόφως, κάλως, ἄπλως, ϗ τὰ ὅμοια. ϗ τὸ ποτὲ, πόκα λέγουσι. ϗ τὸ ὅτε, ὅκα, ϗ ὅκκα. ὡς ὁ Θεόκριτος. Πῇ πόκ᾽ ἄρ᾽ ἦσθ᾽ ὅκα Δάφνις ἐτάκετο; ϗ τὸ πάντῃ δὲ, παντῆ. ϗ τὸ οἴκα-